Καὶ τάς γε δούλας οὐχὶ δεῖ κοσμουμένας
Τὴν τῶν ἐλευθέρων ὑφαρπάζειν Κύπριν,
Ἀλλὰ παρὰ τοῖς δούλοισι κοιμᾶσθαι μόνον,
Κατωνάκῃ τὸν χοῖρον ἀποτετιλμένας.
Βλ. Φέρε νυν ἐγώ σοι παρακολουθῶ πλησίον.
Ἵν᾽ ἀποβλέπωμαι καὶ λέγωσί μοι ταδί.
Τὸν τῆς στρατηγοῦ τοῦτον οὐ θαυμάζετε;

A *Et seruas non oportet ornatas*
*Liberarum subripere Venerem,*
*Sed apud seruos dormire solum.*
*Pelle porcum euellentes.*
*BL. Age nunc, ego te sequor propè,*
*Vt aspiciar, & dicant mihi hæc,*
*Ducis hunc, non admiramini?*

Σχόλια. Κατωνάκῃ.] ἱμάτιόν ἐστιν ἐκ τῶν κάτω μερῶν νάκος ἔχον, τουτέστι διφθέραν περιερραμμένον. ἐνταῦθα δὲ B δουλικὸς καὶ ἀνελεύθερος χιτών.

## ΑΝΗΡ Ο ΚΑΤΑΘΕΙΣ, ΦΕΙΔΩΛΟΣ ὁ μὴ καταθείς.

## VIR DEPONENS, PHEIDOLVS Vir non deponens.

Bis. Ἐνταῦθα δύο ἄνδρες εἰσάγονται, ὧν ὁ μὲν τῷ τοῦ Πραξαγόρας ψηφίσματι, καὶ κηρύγματι πείθεται, καὶ πᾶσαν τὴν αὐτοῦ οὐσίαν εἰς τὴν ἀγορὰν ἀποφέρει, καὶ καταλίθησιν. C ὁ δὲ ταῦτα ποιεῖν ἀναδύεται πρὶν ἢ γιγνώσκειν διὰ τί τοῦτο προσαχθείη. καὶ περὶ τούτων ἐν ἀλλήλοις διαλογιζόμενοι φιλονείκως ἐρίζουσι.

Οκ. Ἐγὼ δ᾽ ἵν᾽ εἰς ἀγορὰν γε τὰ σκεύη φέρω,
Προχειριοῦμαι κἀξετάσω τὴν οὐσίαν.
Χώρει σὺ δεῦρο Κιναχύρα καλὴ καλῶν
Τῶν χρημάτων θύραζε πρώτη τῶν ἐμῶν,
Ὅπως ἂν ἐντετριμμένη κανηφορῇς
Πολλοὺς κάτω δὴ θυλάκους στρέψασα ἐμούς.
Ποῦ σθ᾽ ἡ διφροφόρος. ἡ χύτρα δεῦρ᾽ ἔξιθι.
Νὴ Δία μέλαινά γ᾽ οὐδ᾽ ἂν εἰ τὸ φάρμακον
Ἕψουσ᾽ ἔτυχες ᾧ Λυσικράτης μελαίνεται.
Ἵστω παρ᾽ αὐτήν, δεῦρ᾽ ἴθι κομμώτρια
Φέρε δεῦρο ταύτην τὴν ὑδρίαν. ὑδριαφόρε
Ἐνταῦθα. σὺ δὲ δεῦρ᾽. ἡ κιθαρῳδὸς, ἔξιθι
Πολλάκις ἀναστήσασα μ᾽ εἰς ἐκκλησίαν
Ἀωρὶ νύκτωρ διὰ τὸν ὄρθριον νόμον.
Ὁ τὴν σκάφην λαβὼν προΐτω τὰ κηρία.
Κόμιζε τοὺς θαλλοὺς καὶ καθίση πλησίον.
Καὶ τὼ τρίποδ᾽ ἐξένεγκε καὶ τὴν λήκυθον.
Τὰ χυτρίδι᾽ ἤδη καὶ τὸν ὄχλον ἀφίετε.
Φε. Ἐγὼ καταθήσω τἀμά; κακοδαίμων ἄρα
Ἔσομαι καὶ νοῦ ὀλίγον κεκτημένος.
Μὰ τὸν Ποσειδῶ γ᾽ οὐδέποτ᾽, ἀλλὰ βασανιῶ
Πρώτιστον αὐτὰ πολλάκις καὶ σκέψομαι.
Οὐ γὰρ τὸν ἐμὸν ἱδρῶτα καὶ φειδωλίαν
Οὐδὲν πρὸς ἔπος ἀνοήτως ἐκβαλῶ,
Πρὶν ἐκπύθωμαι πᾶν τὸ πρᾶγμ᾽ ὅπως ἔχει.

*V.D. Ego autem vt in forum vasa feram,*
*Ordinor, & exquiram substantiam.*
*Veni tu huc Cinachyra bona bonarum,*
*Rerum foras prima mearum,*
*Vt consueta canistrum portes,*
*Multa inferius iam vasa vertens mea.*
D *Vbi est Diphrophorus, olla huc exi,*
*Per Iouem nigra, neque in medicinam]*
*Coquere contigisti, qua Lysicrates nigratur.*
*Sta apud ipsam, huc veni commotrix,*
*Fer huc istam hydriam hydriaphore,*
*Huc, tu autem huc citharœda exi,*
*sæpe suscitans me ad concilium*
*Importunæ noctibus per diluculare legem.*
*Scapham capiens affer ceras,*
E *Porta ramos, & sede propè.*
*Et duas ollulas autem effer & lecythum.*
*Citò ollulas iam & multitudinem dimitte.*
*PH.V.N.D. Ego deponam mea? infelix igitur*
*Ero, & mentem paucam possidens,*
*Per Neptunum nunquam, sed experiar*
*Primùm ipsa sæpe, & considerabo.*
*Non enim meum sudorem & parcitatem*
F *Neque ad verbum inscienter eÿciam,*
*Antequàm discã omnem rem quomodo habet.*

Σχόλια. Προχειριοῦμαι] εὐτρεπίσω. Κιναχύρα] ὄνομα δούλης. Ἐντετριμμένη] σμηχθεῖσα, ἢ εἰδυῖα. στρέψασα δὲ, κλέψασα.

Bis. Βέλτιον εἰ τὴν μετοχὴν στρέψασα, ἀναφέρῃς πρὸς τὸ κάτω. κάτω δὲ στρέφειν ἀντὶ τοῦ ἀνατρέπειν. τὸ δὲ ἐντετριμμένη ἀντὶ τοῦ εἰωθυῖα, καὶ καλῶς εἰδυῖα.

Σχ. Διφροφόρος] ἡ τὸ σελλίον ἢ τὸ καθιστήριον βαστάζουσα. Ἡ χύτρα δεῦρ᾽ ἔξιθι.) ὡς ἐν κωμῳδίᾳ καὶ τὴν χύτραν ἔξω καλεῖ χάριν γέλωτος. Μελαίνεται] ὡς τοῦ Λυσικράτους φαρμάκῳ μελαίνοντος αὐτοῦ τὰς πολιάς. Κομμώτρια.] ἐμπλέκτρια ἡ κοσμοῦσα τὰς γυναῖκας. Κιθαρῳδὸς] ἡ ἀλεκτορίς. Τὸν ὄρθριον νόμον] οὕτω καλούμενος νόμος κιθαρῳδικὸς ὁ ὄρθριος. Τὰ κηρία] ἴσως τοὺς κηρῶνας λέγει.

Bis. Τὰ κηρία κυρίως, ὥς φησιν Ἡσύχιος, τὰ τῶν μελισσῶν, καὶ εἶδος πλακοῦντος. ἀλλ᾽ ἴσως ἐνταῦθα κηρία καλοῦνται δᾷδες ἐκ κηροῦ πεποιημέναι, ἃς οἱ Ῥωμαῖοι κατὰ τὴν ἐπιχώριον γλῶτταν κηρέους παρὰ τὸν κηρὸν ὀνομάζουσι. καὶ παρὰ τῷ Πλουτάρχῳ οὕτω γραπτέον δοκεῖ, οὐχ ὥσπερ γράφεται κηρίωνας. ἐκεῖ γὰρ ἐν τοῖς Ῥωμαϊκοῖς φησι, πέντε λαμπάδας ἅπτουσιν ἐν τοῖς γάμοις. οὓς κηρίωνας ὀνομάζουσι. Κόμιζε θαλλοὺς] παίζει πρὸς τὴν τῶν Παναθηναίων πομπήν, ἐν ᾗ οἱ γέροντες θαλλοὺς ἔχοντες ἐπόμπευον, ὡς ὁ σχολιαστὴς μαρτυρεῖ ἐν Σφηξίν. G

Σχ. Καθίση πλησίον.] τοὺς ἐλαίας κλάδους ὡς ἐν πομπῇ. Πρὸς ἔπος] ἀντὶ τοῦ ὡς ἔτυχεν. ἕνεκα μηδενός.

Bi. Οὗτος ὁ στίχος ἐλλιπής ἐστιν, ἀλλ᾽ ὁ Σουίδας οὕτω πληρώσας γράφει, οὐδὲν πρὸς ἔπος, χοὔτως ἀνοήτως ἐκβαλῶ.

Οὗτος